καὶ δυσχερῶν δύναιτ' ἂν ἐγχειρεῖν νόσων.
B. Οὕτω δ' ἀκεσμῶν τῶνδ' ἂν ἅπτοιτ' εἰκότως
γνώσει ποδηγῷ τῇδε καὶ κἀρχηγέτι,
ὡς ἂν σκοπῶν πρώτιστα τὰν φύσει σθένη,
κινήσεων δήπου γε τὰς σωτηρίους,
δι' ὧν πέφυκε καίγε σώζεσθαι δέμας,
καίγ' ἀντερείδειν τῇ νοσημάτων βίᾳ,
ἃς ἐκμαθεῖν τοῦδ' ἐκ κατασκευῆς δέον·
κἄπειτ' ἐρευνῶν αἰτίας νοσημάτων
τὰς ἐστιώδεις τάς τε πόρρω καὶ πέλας,
τὴν τῶνδε γιγνώσκων τε ποικίλην φύσιν,
πάμπολλ' ἐπείπερ ταῦτα κἀλλοειδέα·
ὀρθῶς διακρίνων τ' ἀπ' ἀλλήλων τάδε
ἐκ τῶνδε σημάτων τε καὶ ξυμπτωμάτων,
ἅσσα πρόσεστι τῶνδ' ἑκάστοις ἰδίᾳ·
σαφῶς προγιγνώσκων τε τὰς τῶνδ' ἐκβάσεις
ἐκ τῶν ῥοπῶν ἃς δεικνύει σάφ' ἡ φύσις,
ἐξ ὧν ἅμ' ἐνδείξεις τε λήψετ' εὐστόχους.
τηρῶν δ' ἀκεσμῶν εὔθετόν τ' ἐγκαιρίαν
ἐκ τῶν πεπασμῶν ἐμφανῶς ἐγνωσμένην·
εἰδώς τε χρῆσιν προσφόρων ἀκεσμάτων
τὴν προσφυῶς ἔχουσαν ἀλθέξει νόσων,
καὶ τοῖσδ' ὅπλοισιν οἷον ἐξωπλισμένος
πειρῷτ' ἀναιρεῖν αἰτίας νοσημάτων,
ὅγ' ἐς ἀκεῖσθαι ταῦτα ῥᾳδίως ὅσον·
ἄλλως τε φαρμάκοισιν ἐκλελεγμένοις,

περ